


## ΑΥΓΟΥΣΤΟΥ ΚΕ΄

# Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν ΚΩΝΣΤΑΝΤΙΑΣ ἐν Πάφῳ

### ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων.

Τῆς εὐσεβείας τὸν πλοῦτον, καὶ τῆς χρηστότητος, τὸν τεθησαυρισμένον, ἐν αὐτῆς τῇ καρδίᾳ, σεπτῇ διακονίᾳ τοῦ ἀσκητοῦ, Ἱλαρίωνος μέλψωμεν, ἐκδαπανήσασαν κράζοντες εὐλαβῶς· Κωνσταντία χαῖρε πάνσοφε.

Τοῦ Ἱλαρίωνος ἄντρου, σεπτοῦ οἰκήτορος, ἐν τῇ περιοικίδι, ἐνασκήσαντος Πάφου, ἀνάγκας τὰς τοῦ βίου πανευλαβῶς, θεραπεύσασαν μέλψωμεν, νῦν Κωνσταντίαν ὡς ἔνθεον ἀληθῶς, καὶ θεόπνουν διακόνισσαν.

Νῦν γυναικῶν Κωνσταντίαν, σεπτῶν θησαύρισμα, χρηστοηθείας γέρας, καὶ σεμνότητος φάρον, ὡς ἔκτυπον λαμπρῶν διακονισσῶν, καὶ προστάτιν ἀνύστακτον, τῆς Πάφου ὕμνοις τιμήσωμεν μελιχροῖς, καὶ εὐτάκτοις μελῳδήμασι.

Παραμονάριος τάφου, τοῦ Ἱλαρίωνος, τοῦ θεαυγοῦς ἐν Πάφῳ, Κωνσταντία θεόφρον, ᾧ πόθῳ διηκόνεις ἐν τῇ ζωῇ, χρηματίσασα ἔδραμες, μετὰ κλοπὴν τοῦ λειψάνου αὐτοῦ Χριστῷ, ὑπαντῆσαι μῆτερ πάνσεμνε.

Δόξα... Ἦχος β΄

Τὴν παρὰ πάντας ἐν τῇ Κύπρῳ σεβομένην, ὡς διακόνισσαν Ἱλαρίωνος τοῦ Μεγάλου, καὶ ἀδιαλείπτως προσευχομένην πρὸ τοῦ αὐτοῦ τάφου, ἄχρι τῆς αὐτῆς τοῦ ζῆν ἐκμετρήσεως, Κωνσταντίαν τὴν μακαρίαν τιμήσωμεν κράζοντες· Πάφου ἀκέστορ καὶ φύλαξ καὶ ἔφορε, εὐχαῖς σου ἡμᾶς ἐν ἐγρηγόρσει τήρει, μακρὰν διώκουσα τῆς ῥαστώνης ὁμίχλην, καὶ οὐρανοδρόμον δεῖξον πορείαν τοῖς σὲ μακαρίζουσι.

Καὶ νῦν... Θεοτοκίον

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Ἦχος β΄ Οἶκος τοῦ Ἐφραθᾶ.

Πάφου τὸ εὐανθές, καὶ μυροβόλον κρίνον, ἐν ὕμνοις Κωνσταντίαν, τιμήσωμεν ἐκθύμως, ὡς πίστεως ὀσφράδιον.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Ὅλῃ τῇ σῇ ψυχῇ, ἐφέσει Κωνσταντία, ἐκάλυψας τὰς χρείας, ἐν Πάφῳ τοῦ βιοῦντος, ὁσίου Ἱλαρίωνος.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Ἄντρου τῷ οἰκιστῇ, ἐν τῇ περιοικίδι, τῆς Πάφου Κωνσταντία, ὁσίῳ ἰατῆρι, σῆς κόρης διηκόνησας.

Δόξα... Τριαδικὸν

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, τρισήλιε Θεότης, ἀξιοχρέως πάντες, Σοὶ δόξαν ἀναπέμπομεν.

Καὶ νῦν... Θεοτοκίον

Σκέπη τῶν εὐσεβῶν, ἑτοίμη προστασία, χριστιανῶν ἁπάντων, καὶ φύλαξ Θεοτόκε, ὑπάρχεις τῶν ὑμνούντων σε.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄ Τὸν συνάναρχον Λόγον.

Ἀσκητῇ τῷ μεγάλῳ διακονήσασα, ἐν Πάφου περιοικίδι, τῷ ἀσκουμένῳ σεπτῶς, Ἱλαρίωνι καὶ πίστει διαπρέψασα, ὤφθης κοσμήτωρ γυναικῶν, καὶ προστάτις Παφηνῶν, θεόσοφε Κωνσταντία, ἡμῖν Χριστὸν ἠ ἀόκνως, ἱλεουμένη τοῖς τιμῶσί σε.

Καὶ Ἀπόλυσις

ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος α΄ Πανεύφημοι μάρτυρες ὑμᾶς.

Σεπτὴ Κωνσταντία θεαυγεῖ, ὄντως Ἱλαρίωνι, διακονήσασα ἔμεινας, μετὰ μετάστασιν, τὴν αὐτοῦ πρὸς πόλον, τάφου φύλαξ ἄγρυπνος, αὐτοῦ τοῦ ἐποφθέντος ἀκένωτον, ῥεῖθρον ἰάσεων· ὅθεν πάντες μακαρίζομεν, καὶ τιμῶμεν, τὴν πάνσεπτον μνήμην σου.

Δοχεῖον χαρίτων τιμαλφές, Κωνσταντία πρέσβευε, σὺν τῷ σεπτῷ Ἱλαρίωνι, ᾧ διηκόνησας, τῷ ἀγαθοδώρῳ, Ἰησοῦ ὑγίειαν, καὶ ῥῶσιν καταπέμψαι καὶ δύναμιν, τοῖς ἑορτάζουσι, μνήμην σοῦ τὴν ἀεισέβαστον, καὶ ὑμνοῦσι, τοῦ βίου σου σκάμματα.

Λαμπὰς Κωνσταντία προσευχῆς, πολιτείας κρείττονος, καὶ προσφορᾶς πρὸς τὸν ἔγγιστα, ἐκθύμως ἔσπευσας, χρείας θεραπεῦσαι, θείου Ἱλαρίωνος, τοῦ δείξαντος παλαίστραν πανθαύμαστον, Πάφου τὸ σπήλαιον, κατ᾽ ἐχθροῦ τοῦ παναλάστορος, καὶ ταμεῖον, ἰάσεων ἄσυλον.

Δαιμόνων διώκοντος ἑσμούς, θείου Ἱλαρίωνος, καὶ θεραπεύοντος πάσχοντας, ὡς διακόνισσαν, σὲ ὑμνολογοῦμεν, Κωνσταντία ἔνθεε, ὁσίων γυναικῶν ἐγκαλλώπισμα, περιφανέστατον, καὶ προστάτιν Πάφου ἄγρυπνον, ὁλοθύμως, τὴν μνήμην σου σέβοντες.

Ἀγγέλων χορείαις ἐν Ἐδέμ, συνευφραίνῃ πάντοτε, καὶ σὺν κλεινῷ Ἱλαρίωνι, χαίρεις πανθαύμαστε, μῆτερ Κωνσταντία, ἄνθρωπε ἰσάγγελε, καὶ ἄγγελε βροτῶν σάρκα φέρουσα· ὅθεν γηθόμενοι, ἑορτάζοντες τὴν μνήμην σου, ἱκεσίας, τὰς σὰς ἐκδεχόμεθα.

Τῷ σοῦ θυγατέρα χαλεπῶς, ἀσθενοῦσαν πάγκαλε, ἰασαμένῳ θεόσοφε, ἐλαίου χρίσματι, σὺν αὐτῆς συζύγῳ, Κωνσταντία ὅλῃ σου, ἐφέσει τῆς ψυχῆς διηκόνησας, καὶ κατηξίωσαι, σὺν αὐτῷ πρεσβεύειν πάντοτε, δοῦναι πᾶσιν, ἰσχὺν τοῖς τιμῶσί σε.

Δόξα... Ἦχος πλ. β΄

Τὴν Μυροφόρων χρέος ἐκτελέσασαν, καὶ ὁσίως κηδεύσασαν τὸ σκῆνος Ἱλαρίωνος τοῦ Μεγάλου, ᾧ ἐν Πάφῳ ἐπιμελῶς διηκόνησε, Κων-

σταντίαν τὴν θεοείκελον τιμήσωμεν κράζοντες· ἡ πόθον διακαῆ σχοῦσα διακονῆσαι τῷ θείῳ Ἱλαρίωνι, καὶ τὸ ζῆν ἐκμετρήσασα, μετὰ τὴν ὑπὸ τοῦ Ἡσυχίου κλοπὴν τοῦ αὐτοῦ σκήνους, ἀξίωσον ἡμᾶς Χριστῷ συνεῖναι ἀεὶ ἐν πόλῳ δόξης, τοὺς ἐγκωμίοις στέφοντας τὴν πανσέβαστον μνήμην σου.

Καὶ νῦν... Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα

### Παροιμιῶν τὸ Ἀνάγνωσμα

(Κεφ. λα΄ 10 - 31)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν πλοῦτον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι εἰσί. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ ἀνοίγει σοφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν.

Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. α΄ 1-10)

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι, καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφία καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα, καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. γ΄ 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκί-

μασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν

Στιχηρὰ Ἰδιόμελα

Ἦχος α΄

Εὐφράνθητε Παφηνῶν αἱ χορεῖαι, καὶ σκιρτήσατε φιλοσίων Κυπρίων οἱ δῆμοι, τὴν μνήμην τελοῦντες Κωνσταντίας τῆς οὐρανόφρονος· αὕτη γὰρ καλῶς διακονήσασα Ἱλαρίωνι τῷ Μεγάλῳ, καὶ τὸν τάφον αὐτοῦ φυλάξασα ὡς ὄλβον ἱερὸν καὶ πανάγιον, ἐξέπνευσεν ἐν τῇ θέᾳ τῆς αὐτοῦ συλήσεως ὑπὸ τοῦ Ἡσυχίου, καὶ μετέστη πρὸς Κύριον, Αὐτὸν ἱκετεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄

Εὐγενοῦς ἐκ ῥίζης ῥόδον εὐθαλέστατον, τὸ ἐν Πάφῳ ἀνθῆσαν εὐσεβείᾳ καὶ σεμνότητι, Κωνσταντίαν τὴν ὁσίαν εὐφημήσωμεν· αὕτη γὰρ εὐγνωμόνως διακονήσασα Ἱλαρίωνι τῷ Μεγάλῳ, ἕνεκα τῆς ὑπ' αὐτοῦ τῆς θυγατρὸς καὶ τοῦ γαμβροῦ αὐτῆς ἰάσεως, δι' ἐλαίου ἐπιχρίσεως, εἰς ὕψος κατήντησεν ὁσιότητος δυσαντίβλεπτον· καὶ νῦν μετ' αὐτοῦ ἐν οὐρανίῳ παστάδι Χριστοῦ θεωμένη τὸ κάλλος, ἀδιαλείπτως Αὐτῷ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄

Τὴν παρὰ τοὺς πόδας μαθητεύσασαν Ἱλαρίωνος τοῦ ἐνθεωτάτου, καὶ τὴν ἀρετὴν καὶ σεμνότητα αὐτοῦ ζηλώσασαν, μακαρίαν Κωνσταντίαν τιμήσωμεν λέγοντες· ὡς μυροφόρος ἄλλη ἐν Πάφῳ πολιτευσαμένη, καὶ τοῦ σοῦ εὐεργέτου τὸ σκῆνος κηδεύσασα, αὐτῷ ἀλείφουσα ἀρώμασι καὶ δάκρυσιν, εὐωδίασον τὴν ζωὴν ἡμῶν εὐχαῖς σου, καὶ σῶσον ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄

Ἐνδελεχῶς ἐπιτηροῦσα τὸ μνῆμα Ἱλαρίωνος τοῦ θείου, καὶ νυχθημερὸν αὐτοῦ μὴ ἀφισταμένη, ἀδιαλείπτοις προσευχαῖς Κωνσταντία αὐτὸ ἔρρανες, καὶ μύροις ἡδυπνεύστοις σὺν δάκρυσι· μὴ οὖν ὑπενεγκοῦσα τὴν ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ Ἡσυχίου, κλοπὴν τοῦ πανιέρου αὐτοῦ λειψάνου, παραχρῆμα ἐξέπνευσας, καὶ Χριστῷ ὑπαντήσασα ἐν πόλῳ, ἀσιγήτως πρεσβεύεις Αὐτῷ ὑπὲρ τῶν τιμώντων σε.

Δόξα... Ἦχος δ΄

Τὴν διὰ τοῦ θανάτου αὐτῆς βεβαιώσασαν τὸν πόθον, ὃν πρὸς Ἱλαρίωνα τὸν Μέγαν ἔσχε τιμήσωμεν, Κωνσταντίαν τῶν Παφηνῶν τὸ ἔμψυχον ἀγαλλίαμα, ἐν κατανύξει κραυγάζοντες· ἡ ἐγκαρτερήσασα νυχθημέροις ἀσκήσεως πόνοις, μιμουμένη τὸν Μέγαν τῆς Παλαιστίνης ἀσκητήν, καὶ τῆς Πάφου οἰκήτορα, καὶ οὐρανίου κεκοσμημένη δόξης, Χριστὸν ἐκτενῶς δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Ἦχος πλ. α΄ Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἡ ἀκλινὴς ἀρωγός, θερμὴ προστάτις καὶ ἀκέστωρ καὶ πρόμαχος, τῆς Πάφου ἐν ᾗ ἐτέχθης, καὶ ἣν τῆς σῆς προσφορᾶς, καὶ ἀγάπης φέγγει κατεφώτισας· ὁσίων καλλώπισμα, γυναικῶν Ἱλαρίωνι, ἡ τῷ Μεγάλῳ, πίστει διακονήσασα, τῷ οἰκήσαντι, ἐν σπηλαίῳ πανύμνητε, καὶ ἐπαρθέντι ἄρρητον, πρὸς ὕψος θεώσεως· πανευκλεὲς Κωνσταντία, ἀγγέλων θείων συνόμιλε, καὶ γέρας μητέρων, ἔργοις εὐαρεστησάντων, τῷ Παντοκράτορι.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Χαίροις τοῦ θεαυγοῦς ἀσκητοῦ, μοναχικῆς ἐν Παλαιστίνῃ βιώσεως, τοῦ πρώτου καὶ θεμελίου, ἀσκητισμοῦ ἀκραιφνοῦς, ἐν τῇ νήσῳ Κύπρῳ, Ἱλαρίωνος, Μεγάλου μαθήτρια, καὶ σεμνὴ διακόνισσα, χαριτοβρύτων, γυναικῶν θεῖον ἔκτυπον, καὶ πολύτιμον, ἀγαπήσεως μάργαρον· σοῦ γὰρ τὴν χριστοήθειαν, τιμῶντες γηθόμενοι, πανευλαβὲς Κωνσταντία, προστάτις Πάφου ἀνύστακτε, τὴν σὴν μεσιτείαν, πρὸς τὸν σώζειν ἐκζητοῦμεν, ἡμᾶς δυνάμενον.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Χαίροις ἡ χαρμονὴ Παφηνῶν, εὐσεβοφρόνων γυναικῶν σεμνολόγημα, πανένδοξε Κωνσταντία, καὶ καθαρᾶς βιοτῆς, κρίνον μυροβόλον, ἐκβοῶμέν σοι· μετὰ γὰρ τὴν ἴασιν, θυγατρὸς ἀσθενούσης σου, καὶ τοῦ συζύγου, τοῦ αὐτῆς μῆτερ ἔνθεε, ὑπὸ σώφρονος, ἀσκητοῦ Ἱλαρίωνος, ὅλῃ ψυχῆς ἐφέσει σου, αὐτῷ διηκόνησας, καὶ φύλαξ ἔστης ὡς θεῖος, αὐτοῦ τοῦ τάφου θεόσοφε, ἰάσεων ῥεῖθρα, τοῦ βλυστάνοντος τοῖς πίστει, αὐτῷ προστρέχουσι.

Δόξα... Ἦχος πλ. δ΄

Δραμοῦσα εἰς ὀσμὴν μύρου Χριστοῦ διὰ τῆς σῆς διακονίας, τρόπων ἀγαπήσεως καὶ ἱλαρᾶς ἑαυτῆς κενώσεως, διὰ τὴν θεραπείαν τῶν ἀναγκῶν τοῦ πλησίον, μυροβόλον ὤφθης τῆς χάριτος λευκάνθεμον, Κωνσταντία πανένδοξε· μεταφυτευθεῖσα οὖν χειρὶ θείῳ εἰς κήπους οὐρανίους πανδρόσους, εὔφρανον καὶ ἡμᾶς ὀσμαῖς πρεσβειῶν σου πρὸς Κύριον, καὶ ῥῦσαι παθῶν δυσωδίας τοὺς ἑορτάζοντας πόθῳ, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄ Τὸν συνάναρχον Λόγον.

Ἀσκητῇ τῷ μεγάλῳ διακονήσασα, ἐν Πάφου περιοικίδι, τῷ ἀσκουμένῳ σεπτῶς, Ἱλαρίωνι καὶ πίστει διαπρέψασα, ὤφθης κοσμήτωρ γυναικῶν, καὶ προστάτις Παφηνῶν, θεόσοφε Κωνσταντία, ἡμῖν Χριστὸν ἡ ἀόκνως, ἱλεουμένη τοῖς τιμῶσί σε.

Καὶ Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα

Ἦχος α΄ Τὸν τάφον σου Σωτήρ.

Τὸν ἔνθεον βλαστόν, νήσου Κύπρου καὶ Πάφου, τὸ ἄνθος τὸ ἡδύ, εὐλαβῶς Κωνσταντίαν, τὴν θείαν τιμήσωμεν, ὡς ζηλώσασαν ἅπαντα, τὰ αἰώνια, καὶ πίστει ἀρνησαμένην, τὰ φθειρόμενα, παρόντος κόσμου βοῶντες· κρηπὶς χαῖρε πίστεως.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὴν νῆσον ἐσαεί, τῶν Κυπρίων φυλάττεις, ἐκ πάσης συμφορᾶς, καὶ ἐχθροῦ ἐπηρείας, κινδύνων καὶ θλίψεων, Θεοτόκε πανύμνητε, καὶ τὸ σύστημα τῶν εὐσεβῶν ἁγιάζεις, ἐκδεχόμενον τὴν σὴν θερμὴν προστασίαν, καὶ θείαν ἀντίληψιν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα

Ἦχος δ΄ Ταχὺ προκατάλαβε.

Ἀγάπης ἀνύσασα, καὶ προσφορᾶς τὴν ὁδόν, πρὸς τὸν Ἱλαρίωνα, τὸν θαυμαστὸν ἀσκητήν, αὐτοῦ ἰσοστάσιος, ὤφθης τῆς θείας δόξης, θεαυγὲς Κωνσταντία, Πάφου κλεινὴ προστάτις, καὶ σεμνῶν παραστάτις, γυναίων ἐν τοῦ βίου δεινοῖς, μῆτερ πανεύφημε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Θερμὸν παραμύθιον, τῶν θλιβομένων πιστῶν, ἡμῶν ἱλαστήριον, τῶν σὲ τιμώντων ἀεί, καὶ θεῖον προσφύγιον, πάντων ἐμπεριστάτων, Θεοτόκε Παρθένε, ῥῦσαι ἡμᾶς ταχέως, ἐνεστώσης ἀνάγκης, ἐχθροῦ ἐπιβουλῆς συμφορῶν, καὶ περιστάσεων.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα

Ἦχος γ΄ Τὴν ὡραιότητα.

Σὺν Ἱλαρίωνι τῷ οὐρανόφρονι, σεμνῷ οἰκήτορι σπηλαίου μέλψωμεν, τῆς Πάφου καὶ θεοειδῶν ὁσίων τὸν ἀκρεμόνα· Κωνσταντίαν ἔνθεον ἱερὰν διακόνισσαν, τὴν αὐτοῦ καὶ κλεῖσμα γυναικῶν Κύπρου κράζοντες, ψυχῆς ἐν κατανύξει μυχίων· Χαῖρε, τῆς προσφορᾶς ταμεῖον.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε Μαριὰμ ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ

ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου

Προκείμενον, Ἦχος δ΄

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Πᾶσα πνοὴ

Τὸ Εὐαγγέλιον

**Ἐκ τοῦ κατὰ Λουκᾶν**

(Κεφ. η΄ 1-3)

(Ζήτει τῇ ΚΒ΄ Ἰουλίου εἰς τὴν Λειτουργίαν)

Τῷ καιρῷ ἐκείνῳ ἐπορεύετο ὁ Ἰησοῦς κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ...

Ὁ Ν΄ Ψαλμὸς

Δόξα... Ταῖς τῆς σῆς Ὁσίας...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Τὸ Ἰδιόμελον

Ἦχος πλ. β΄

Τὴν μεγάλως ἐν Πάφῳ σεβομένην, ὡς αὐτῆς προστάτιν καὶ ἔφορον, Κωνσταντίαν, τὴν μακαρίαν τοῦ Ἰλαρίωνος διακόνισσαν, εὐσχημόνως τιμήσωμεν κράζοντες· Μῆτερ ἁγιωτάτη, μὴ παύσῃ σὺν τῷ μεγάλῳ ἀσκητῇ καὶ ὁσίῳ, θεμελιώσαντι μοναχισμὸν ἐν Κύπρῳ, Χριστῷ πρεσβεύουσα, ὑπὲρ ὑγιείας τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ὁ Κανὼν τῆς Ὁσίας, οὗ ἡ Ἀκροστιχίς·

Χαῖρε, Κωνσταντία, Ἰλαρίωνος διάκονε. Χ.

Ὠδὴ α΄

Ἦχος δ΄ Ἀνοίξω τὸ στόμα μου.

Χαρίτων ἀλάβαστρον, τοῦ Παρακλήτου ἡδύπνευστον, σεπτῷ Ἰλαρίωνι, διακονίᾳ τῇ σῇ, εὐωδίασας, θεόφρον Κωνσταντία, δεινῆς ἀπαλλάξαντι, νόσου τὴν κόρην σου.

Ἀγάπης ἀνάκτορον, καὶ προσφορᾶς πρὸς τοὺς ἔγγιστα, σοφῶς ἐθεράπευσας, τὰς χρείας τοῦ ἀσκητοῦ, Ἰλαρίωνος, τοῦ θείου Κωνσταντία, ἰκμάδος ὡς δότειρα, ὅλης καρδίας σου.

Ἱλέωσαι Κύριον, ἡμῖν τοῖς σὲ μακαρίζουσιν, ὡς θείαν διάκονον, τῆς Ἐκκλησίας Χριστοῦ, Ἰλαρίωνος, ἀνάγκας Κωνσταντία, χερσὶ θεραπεύσασα, πάσας ἰδίαις σου.

Θεοτοκίον

Ῥανίδας δακρύων μου, σῶν διαθέρμων δεήσεων, πρὸς Τόκον τὸν θεῖόν σου, Θεογεννῆτορ ἁγνή, σμῆξον τάχιστα, Παρθένε μανδηλίῳ, καὶ κάθαρον δέομαι, ῥύπον καρδίας μου.

Ὠδὴ γ΄

Τοὺς σοὺς ὑμνολόγους.

Ἐκσφράγισμα θεῖον Κωνσταντία, θεόφρον ὁσίων γυναικῶν, ἐσφράγισας τὸν βίον σου, ἀγάπῃ τὸν ἐπίγειον· διόπερ σε ἐδόξασεν, ἀφθάρτῳ στέφει ὁ Κύριος.

Κοσμῆτορ τῆς Πάφου Κωνσταντία, αὐτὴν προστατεύεις ἀκλινῶς, ἐκ πάσης περιστάσεως, ἐπιβουλῆς τοῦ δαίμονος, ἀνάγκης καὶ στενώσεως, καὶ συμφορᾶς καὶ κακώσεως.

Ὡραῖοι οἱ πόδες σου ταχέως, δραμόντες εἰς σπήλαιον σμικρόν, διακονῆσαι πάνσεμνε, τῷ θείῳ Ἰλαρίωνι, πιστοῖς ἀφθόνως νέμοντι, ὦ Κωνσταντία ἰάματα.

Θεοτοκίον

Ναὲ ἀχειρότευκτε Κυρίου, ὑπέραγνε Μῆτερ τοῦ Θεοῦ, ναοὺς ἡμᾶς ἀνάδειξον, ἁγνείας καὶ χρηστότητος, τοὺς εἰς αἰῶνας μέλποντας, τῶν θαυμασίων σου πέλαγος.

Κάθισμα

Ἦχος γ΄ Θείας πίστεως.

Τὸ μυράλειπτρον τῆς εὐσεβείας, καὶ ἀλάβαστρον ἀγάπης θείας, τὸν πολύτιμον τῆς πίστεως σάπφειρον, ὡς Παφηνῶν ἱερὸν ἐγκαλλώπισμα, νῦν Κωνσταντίαν ἐκθύμως τιμήσωμεν, Ἰλαρίωνος ὡς πάνσεμνον διακόνισσαν, ἀγάπῃ οὐρανίῳ διαπρέψασαν.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Καθυπόδειξον ἡμῖν Παρθένε, τὴν ἀπάγουσαν πρὸς σωτηρίαν, ἀτραπὸν καὶ δόμους ἀϊδιότητος, ὡς ἀπλανὴς τῶν σῶν δούλων ἰθύντειρα, καὶ ὁδηγὸς σταθηρὰ τῶν τιμώντων σε, πρὸς ἀτέλεστον χαρὰν Θεοτόκε πάνσεπτε, εἰρήνην ἀσφαλῆ καὶ ἀγαλλίασιν.

Ὠδὴ δ΄

Ὁ καθήμενος ἐν δόξῃ.

Σὲ τιμῶντες Κωνσταντία, Παφηνῶν τὰ συστήματα, σὺν τῷ θεοφόρῳ, ἀσκητῇ Χριστοῦ Ἱλαρίωνι, μεθ' οὗ συγχαίρεις ἐν πόλῳ ἀνυμνοῦμέν σε, διακόνισσαν, αὐτοῦ ὡς θείαν καὶ ἄγρυπνον.

Τῷ ἐν τῇ περιοικίδι, Πάφου Μῆτερ ἀσκήσαντι, ἐν σμικρῷ σπηλαίῳ, ἀσθενεῖς ταχὺ θεραπεύσαντι, καὶ ἐκδιώξαντι πνεύματα ἀκάθαρτα, Ἱλαρίωνι, πανευλαβῶς διηκόνησας.

Ἀκλινῶς προσευχομένη, εὐεργέτου πρὸ μνήματος, σοῦ οὐρανοσδότου, Κωνσταντία ζῆν ἐξεμέτρησας, καὶ πρὸς σκηνώσεις μετέστης ἀφθαρτότητος, τῷ οἰκτίρμονι, Χριστῷ συνεῖναι ἀείποτε.

Θεοτοκίον

Νικητὰς κατ' ἐναντίων, δεῖξον τοὺς ἀνυμνοῦντάς σε, Κεχαριτωμένη, νικητὴν θανάτου ἡ τέξασα, καὶ τὴν ζωὴν τὴν ἐν πόλῳ δωρησάμενον, ἀτελεύτητον, θεοχαρίτωτε Δέσποινα.

Ὠδὴ ε΄

Ἐξέστη τὰ σύμπαντα.

Ταμεῖον ἀσύλητον, τῶν ἀρετῶν ἀγάπῃ σου, ὄλβον ἐθησαύρισας ἐν πόλῳ, ὅνπερ συλῆσαι, καὶ ἀφαρπάσαι οὐδείς, οὐ δύναται μῆτερ ἀγαθή, Κωνσταντία κράζομεν, γυναικῶν Πάφου κόσμημα.

Ἰδεῖν κατηξίωσαι, προσώπου κάλλος ἄρρητον, σὺν τῷ Ἱλαρίωνι τῷ θείῳ, τοῦ παναγάθου, καὶ παντεπόπτου Θεοῦ, Ὃν νῦν Κωνσταντία δυσωπεῖς, δοῦναι τοῖς τιμῶσί σε, ἄμφω σθένος καὶ δύναμιν.

Ἀγάπης ἀρχέτυπον, καὶ ῥεῖθρον ταπεινώσεως, διειδὲς θεόφρον Κωνσταντία, διακονῆσαι, κατηξιώθης σαφῶς, τῆς Πάφου μεγάλῳ ἀσκητῇ, θείῳ Ἱλαρίωνι, ξένα μόνον ποιήσαντι.

Θεοτοκίον

Ἱκάνωσον δούλους σου, συντρῖψαι τοῦ ἀλάστορος, βέλη ἰοβόλα Θεοτόκε, τῆς Κωνσταντίας, θεοπειθέσιν εὐχαῖς, καὶ πλήρωσον πάντων χαρμονῆς, τὰς ψυχὰς τῶν δούλων σου, ὑπερύμνητε Δέσποινα.

Ὠδὴ ς΄

Τὴν θείαν ταύτην καὶ πάντιμον.

Λιποῦσα οἴκου σου ἄνεσιν, μετὰ τῆς θυγατρός σου τὴν ἴασιν, ὑφ' Ἱλαρίωνος, τοῦ θαυμαστοῦ τάχος ἔδραμες, αὐτῷ διακονῆσαι καλῶς περίδοξε.

Ἀμνὰς Χριστοῦ παντευλόγητε, ὁσία Κωνσταντία ἱκέτευε, Αὐτὸν ἀείποτε, σὺν τῷ κλεινῷ Ἱλαρίωνι, ὑπὲρ τῶν προστρεχόντων τῇ προστασίᾳ σου.

Ῥοὰς δακρύων ἀπόσμηξον, ἡμῶν τῶν εὐλαβῶς ἀνυμνούντων σε, ὡς διακόνισσαν, τοῦ ἱεροῦ Ἱλαρίωνος, τιμίαν Κωνσταντία θεοφορούμενε.

Θεοτοκίον

Ἰδοὺ τὴν σὴν ἀγαθότητα, ὑμνοῦντες καὶ ἀνύστακτον πρόνοιαν, Θεογεννήτρια, σὲ ἀκλινῶς μακαρίζομεν, εἰς πάντας τοὺς αἰῶνας ᾠδαῖς καὶ ᾄσμασι.

Κοντάκιον

Ἦχος πλ. δ΄ Τῇ ὑπερμάχῳ.

Σεπτὴν διάκονον τοῦ θείου Ἱλαρίωνος, βλαστὸν τῆς Πάφου καὶ τοῦ πόλου ἄνθος ἥδιστον, ἀνυμνήσωμεν πανεύφημον Κωνσταντίαν, ὡς προστάτιν Παφηνῶν καὶ ἀντιλήπτορα, καὶ ὁσίων γυναικῶν τερπνὸν ἀλάβαστρον, πόθῳ κράζοντες· Χαίροις Μῆτερ ἀοίδιμε.

Ὁ Οἶκος

Ἄγγελος Κωνσταντία, ὤφθης διακονίας, ὁσίου Ἱλαρίωνος, μῆτερ, καὶ προστάτις τῆς Πάφου σεπτή· ὅθεν τὴν σὴν μνήμην εὐλαβῶς σέβοντες, τὴν πάνσεπτον κραυγάζομεν, ψυχῆς ἐν κατανύξει ταῦτα·

Χαῖρε τῆς Κύπρου ὁ θεῖος γόνος·
χαῖρε τῆς Πάφου εὐῶδες ἄνθος.

Χαῖρε γυναικῶν θεοσόφων καλλώπισμα·
χαῖρε ἀρετῶν θεΐκῶν ἐνδιαίτημα.

Χαῖρε ὅτι διηκόνησας Ἱλαρίωνι σεπτῷ·
χαῖρε ὅτι χάριν ὄμβρισας τῷ τιμῶντί σε λαῷ.

Χαῖρε τῆς συμπαθείας παμφαέστατος λύχνος·
χαῖρε τῆς εὐσεβείας χρυσοστόλιστον στέφος.

Χαῖρε εἰκὼν σοφίας τῆς κρείττονος·
χαῖρε κανὼν Χριστοῦ ἀγαπήσεως.

Χαῖρε χοροῦ Παφηνῶν ἡ προστάτις·
χαῖρε ἑσμοῦ τοῦ ἐχθίστου διώκτις.

Χαίροις Μῆτερ ἀοίδιμε.

## Συναξάριον

Τῇ ΚΕ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Κωνσταντίας ἐν Πάφῳ.

### Στίχοι

Ἱλαρίωνος διακόνισσα, δόξης,
Αὐτοῦ ἰσότιμος ὤφθης, Κωνσταντία.

### Ἕτεροι

Πρὸς οἶκον ἤρθη Ἱλαρίων τὸν ἄνω,
Καὶ μὴν σὺν αὐτῷ Κωνσταντία ἀπῆλθε.

Εἰκάδι πέμπτῃ πατρικῆς σωτηρίας σκέπην εὗρεν.

Δίκαιον ἡγοῦμαι τῆς μακαρίας δούλης τοῦ Χριστοῦ Κωνσταντίας, ἣν περὶ τὸν ἅγιον τοῦ Θεοῦ Ἱλαρίωνα εἶχεν σπουδήν, πᾶσι γνωρίσαι τοῖς ὁμόφροσιν. Ἦν δὲ τότε ὁ ἅγιος Ἱλαρίων ἐν τῇ Κύπρῳ ἡσυχάζων, ἐτῶν ὀγδοήκοντα. Αἰσθόμενος ἑαυτὸν μέλλοντα τοῦ βίου τούτου ἐκδημεῖν, ὥσπερ διαθήκην ἰδιόχειρον γράψας ἐπὶ τῆς τῶν ἀδελφῶν παρουσίας, κατέλειψε τῷ μακαρίῳ μαθητῇ αὐτοῦ Ἡσυχίῳ τὸ ἅγιον Εὐαγγέλιον, ὃ αὐτὸς ἔγραψεν, καὶ παλλίον καὶ στιχάριον τρίχινα καὶ κουκούλλιον· ταῦτα γὰρ ἦν τὰ ὑπάρχοντα αὐτοῦ. Ἀκούσαντες δὲ οἱ ἐκ τῆς Πάφου παρεγένοντο πρὸς αὐτόν, ἄνδρες εὐλαβεῖς, καὶ ἤκουσαν αὐτοῦ λέγοντος· «Λοιπὸν τοῦ δεσμοῦ τῆς σαρκὸς ἀπολυόμενος, ἀδελφοί, πορεύομαι πρὸς τὸν Κύριον». Ἦλθε δὲ καὶ Κωνσταντία ἡ εὐλαβὴς γυνή, ἧς τὴν θυγατέρα καὶ τὸν γαμβρόν, μέλλοντας τελευτᾶν, ἀλείψας ἐλαίῳ ἀνέστησεν.

Μέλλων δὲ ἐκλείπειν ὁ ἅγιος, νήφων ἐν σεμνῇ καταστάσει, ἔλεγεν· «Ἐκπορεύου ψυχή· τί φοβεῖ; ἔξελθε· τί διστάζεις; Ἑβδομήκοντα ἔτη ἐδούλευσας τῷ Χριστῷ καὶ θάνατον φοβεῖ; Χριστός σε καλεῖ· πορεύου χαίρουσα πρὸς αὐτόν». Καὶ ταῦτα εἰπὼν ὁ ἅγιος, καὶ σφραγίσας ἑαυτόν, ἐτελειώθη. Εὐθέως δὲ οἱ ἀδελφοί, κατὰ τὰς ἐντολὰς αὐτοῦ, ἔθαψαν αὐτὸν ἐν ᾧ προσέταξεν τόπῳ (ἐν ᾧ τόπῳ πρεσβεύοντος τοῦ ἁγίου μέχρι τῆς σήμερον ἡμέρας σημεῖά τε μεγάλα καὶ ἰάσεις ἐπιτελοῦνται, πολλῷ δὲ πλέον εἰς τὸν κῆπον, ὅπου τελειωθεὶς ἐτέθη ὁ ἅγιος· πάντων γὰρ μᾶλλον τῶν τόπων, ἐν οἷς γέγονεν, τοῦτον ἠγάπησεν). Καὶ μετὰ ταῦτα ἐδήλωσαν ἐν τῇ πόλει ὅτι ὁ ἅγιος Ἱλαρίων κεκοίμηται. Ἀκούσας δὲ ὁ μαθητὴς αὐτοῦ Ἡσύχιος ἐν τῇ Παλαιστίνῃ περὶ τῆς κοιμήσεως τοῦ ἁγίου, παρεγένετο εἰς τὴν Κύπρον. Καὶ οὕτως δεκαμηνιαίου χρόνου διελθόντος καὶ μηκέτι τῶν φυλασσόντων αὐτὸν τὴν τοιαύτην ἐπιβουλὴν ὑποπτευόντων εἰς αὐτόν, ἠδυνήθη, εὔκαιρον νύκτα ἐπιτηρήσας, μετὰ ἀγῶνος καὶ φόβου πολλοῦ κλέψαι τὸ λείψανον τοῦ ἁγίου καὶ ἀπενέγκαι, εἰς δόξαν τῆς Παλαιστίνης πάσης εἰς τὸν Μαϊουμᾶν, ὅπου εἶχεν τὸ μοναστήριον ὁ μακάριος.

Αὐτὴ γὰρ ἡ ἁγία Κωνσταντία, παρὰ πάντας τοὺς ἐν τῇ Κύπρῳ τιμῶσα καὶ σεβομένη περιόντα τὸν Ἅγιον καὶ τελειωθέντος αὐτοῦ μὴ ἀφισταμένη, ἀλλ' ἐνδελεχῶς παραμένουσα τοῦ μνήματος αὐτοῦ καὶ ἀδιαλείπτως προσευχομένη καὶ τελειότητι πίστεως ὡς ζῶντι ἐν σώματι ὁμιλοῦσα πρεσβεύειν ὑπὲρ αὐτῆς· γνοῦσα ὅτι κλαπὲν τὸ σῶμα αὐτοῦ μετηνέχθη ἐν τῇ Παλαιστίνῃ, ἀπέψυξεν· τοιοῦτος πόθος καὶ ζῆλος ἦν ἐν αὐτῇ πρὸς τὸν Ἅγιον, ὥστε ἅμα τοῦ μηνυθῆναι αὐτῇ περὶ τοῦ κλαπέντος τοῦ ἁγίου σώματος, παραχρῆμα ἐξέπνευσεν καὶ διὰ τοῦ θανάτου αὐτῆς ἐβεβαίωσε τὸν πόθον, ὃν εἶχε πρὸς αὐτόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς ἐπανόδου τοῦ λειψάνου τοῦ ἁγίου ἐνδόξου ἀποστόλου Βαρθολομαίου.

### Στίχοι

Ἵνα τρυγῶμεν ἄφθονον πιστοὶ χάριν,
Βαρθολομαῖος εὑρέθη κεκρυμμένος.

Σὸν νέκυν εἰκάδι Βαρθολομαῖε ἐφεῦρον πέμπτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου ἀποστόλου Τίτου, ἐπισκόπου Γορτύνης τῆς κατὰ Κρήτην, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Παύλου.

### Στίχοι

Ἴτω παρ' ἡμῶν καὶ Τίτῳ βραχὺς τίτλος,
Τούτου τελευτὴν τὴν ἐν εἰρήνῃ φέρων.

Οὐράνιον δάπεδον λάχες εἰκάδι Τίτ' ἐνὶ πέμπτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Μηνᾶ, Ἐπιφανίου, Γενναδίου καὶ Ἰωάννου, ἀρχιεπισκόπων Κωνσταντινουπόλεως.

### Στίχοι

Ὁ κόσμος ἐκλέλοιπε τῆς Ἐκκλησίας·
Μηνᾶς γὰρ ἐκλέλοιπεν ἐκ τῶν ἐνθάδε.

Σπάσας τελευτῆς Ἐπιφάνιος μέθυ,
Κεῖται τραπεὶς εἰς ὕπνον εὐθὺς τῷ κάρῳ.

Ἐπιφανίῳ, Γενναδίῳ ποιμέσι,
Χριστοῦ, Ἰωάννῃ τε ὕμνον προσφέρω.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄

Οὐκ ἐλάτρευσαν.

Ὡς ἀμάρυγμα, διακονίας πάμφωτον, καὶ φέγγος ἄρρητον, ἀγάπης καὶ προσφορᾶς, σὲ ὕμνοις γεραίρομεν, ψαλμοῖς καὶ ᾄσμασι, παναοίδιμε, μητέρων θείων κλέϊσμα, μακαρία Κωνσταντία.

Νίκης τρόπαιον, Σταυρὸν τὸν τρισμακάριστον, ἐν κόλποις φέρουσα, ἑκόντα τὸν ἐν αὐτῷ, τὰς χεῖρας ἐκτείναντα, Χριστὸν ἱκέτευε, τοὺς ἱκέτας σου, ἐχθρὸν τὸν παναλάστορα, τὸν ἀρχαῖον θριαμβεῦσαι.

Ὁσιότητος, ὡς πρόβολον καὶ σκήνωμα, τῆς ἀγαπήσεως, σὲ Κωνσταντία λαμπρῶς, τιμῶντες γηθόμενοι, σὺν Ἱλαρίωνι, ἁγιάσαντι, σμικρὸν τῆς Πάφου σπήλαιον, πόνοις θείοις σὲ ὑμνοῦμεν.

Θεοτοκίον

Σκέπε φύλαττε, καὶ φρούρει τοὺς οἰκέτας σου, Θεογεννήτρια, ὑπὸ τὴν σκέπην τὴν σήν, καὶ πάντας ἁγίαζε, τοὺς μεγαλύνοντας, ὕμνοις πρέπουσι, τὴν ἄγρυπνόν σου εὔνοιαν, καὶ πληθὺν σῶν θαυμασίων.

Ὠδὴ η΄

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Δόμων οὐρανίων Κωνσταντία, οἰκῆτορ καὶ Ἱλαρίωνος ὁμόσκηνε, ᾧπερ διηκόνησας, εὐλαβῶς ἱκέτευε, Χριστὸν τὸν πανοικτίρμονα, καὶ πολυέλεον, ὑπὲρ τῶν μελῳδούντων εὐτάκτως, μνήμην τὴν ἁγίαν, καὶ ἀεισέβαστόν σου.

Ἵλεων ἀπέργασαι τὸν Κτίστην, ἡμῖν Κωνσταντία τοῖς τιμῶσί σε, ὥσπερ διακόνισσαν, θείου Ἱλαρίωνος, σεμνὴν καὶ ταπεινόφρονα, καὶ στῦλον ἄσειστον, ἀφάτου προσφορᾶς καὶ ἀγάπης, Πάφου ἀντιλῆπτορ, καὶ φύλαξ καὶ ἀκέστορ.

Ἄισμασιν εὐήχοις Κωνσταντία, οἱ δῆμοι τῶν Παφηνῶν ὑμνολογοῦμέν σε, καὶ Κυπρίων σύλλογοι, στέφομέν σε πάντοτε, ψαλμῶν ἡδίστοις ἄνθεσι, μῆτερ ἰσάγγελε, ἡ κλέος γυναικῶν ἐποφθεῖσα, καὶ τῆς Ἐκκλησίας, θεοειδὴς κοσμήτωρ.

Θεοτοκίον

Κόπασον τὸν σάλον οἰκετῶν σου, καὶ βίον ἡμῶν εἰρήνευσον σῇ χάριτι, Εἰρηνάρχου κτίσαντος, Μῆτερ ὑπερύμνητε, Θεογεννῆτορ ἄχραντε, παρακαλοῦμέν σε, γαλήνην ἡ βραβεύουσα πᾶσι, ποντουμένοις λύπαις, καὶ θλίψεσι τοῦ βίου.

Ὠδὴ θ΄

Ἅπας γηγενής.

Ὄμβρισον ἡμῖν, ἐξ ὕψους εὐκλείας σου, τῆς προστασίας σου, ὑετὸν καὶ ἄρδευσον, ἡμῶν καρδίας, αὐχμώδεις πάγκαλε, ἀγάπης θείας μάργαρον, καὶ ἐνδιαίτημα, συμπαθείας, Κωνσταντία πάνσεμνε, πρὸς δεινῶς τρυχομένους καὶ κάμνοντας.

Νεῦσον ταῖς ἡμῶν, θερμαῖς παρακλήσεσι, θεόθεν παύουσα, τῆς σαρκὸς σκιρτήματα, τῶν σὲ τιμώντων, ψαλμοῖς καὶ ᾄσμασιν, ὡς Πάφου ἀντιλήπτορα, φρουρὸν καὶ πρόμαχον, Κωνσταντία, γυναικῶν ὡράϊσμα, θεοφόρων καὶ πίστεως ἔρεισμα.

Εὖχος ἱερόν, τῆς Κύπρου καὶ σέμνωμα, τῆς Πάφου πάντιμον, Κωνσταντία ἔνθεε, μὴ διαλίπῃς, Χριστῷ πρεσβεύουσα, ὑπὲρ τῶν ἀνυμνούντων σε, ὡς διακόνισσαν, τοῦ Μεγάλου, ὄντως Ἱλαρίωνος, ἐν σπηλαίῳ τῆς Πάφου ἀσκήσαντος.

Θεοτοκίον

Χάριτος κρουνέ, ἁγνὴ ἀειπάρθενε, Θεογεννήτρια, βόρβορον ἀπόπλυνον, τῆς ῥαθυμίας, τῶν προσφευγόντων σοι, καὶ ῥύπον ματαιότητος, εὐχῶν σου νάμασι, πρὸς Υἱόν σου, τὸν τοῦ κόσμου αἴροντα, ἁμαρτίαν Χριστὸν τὸν φιλάνθρωπον.

Ἐξαποστειλάριον

Γυναῖκες ἀκουτίσθητε.

Προθύμως ἀναλώσασα, σαυτὴν τοῦ Ἱλαρίωνος, τῶν ἀναγκῶν θεραπείᾳ, ἡσυχαστοῦ τοῦ Μεγάλου, ἐν Πάφῳ τοῦ ἀσκήσαντος, ὁσίως εὐφημήσωμεν, μητέρων μέγα κλέϊσμα, θεοειδῶν Κωνσταντίαν, ὡς προσφορᾶς ἐκμαγεῖον.

Θεοτοκίον

Ἀφράστως τὴν κυήσασαν, ἐν πόλῳ τὸν ἀμήτορα, Λόγον Θεοῦ τοῦ Ὑψίστου, Θεογεννήτριαν Κόρην, χριστιανῶν ὡς καύχημα, καὶ γλυκα-

σμὸν καὶ στήριγμα, πιστῶς ἀνευφημήσωμεν, ἐν κατανύξει βοῶντες· Χαῖρε ἡμῶν προστασία.

Εἰς τοὺς Αἴνους

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος πλ. δ΄ Ὢ τοῦ παραδόξου θαύματος.

Χαίροις Κωνσταντία σέμνωμα, τῆς Ἐκκλησίας Χριστοῦ, γυναικῶν ἐγκαλλώπισμα, ἐναρέτου ἔκτυπον, πολιτείας καὶ σύνοικε, σοφίας θείας σὺν Ἱλαρίωνι, τῷ θεοσόφῳ, ἡ νῦν ἐν δώμασιν, ἐναπολαύουσα, τῆς μορφῆς τοῦ Κτίσαντος, καὶ Λυτρωτοῦ, τῶν βροτῶν συστήματος, κάλλους πανεύφημε.

Μῆτερ Κωνσταντία πάντιμε, σῆς θυγατρὸς ἰατρῷ, καὶ συζύγου θεόφιλε, ταύτης Ἱλαρίωνι, τῷ σεπτῷ διηκόνησας, τῷ ἐν τῇ Πάφῳ, λαμπρῶς ἀσκήσαντι, καὶ τῷ Σωτῆρι, εὐαρεστήσαντι, πόνοις ἀσκήσεως, νυχθημέροις πρόβολε τῆς ἀρετῆς, ἀπαθείᾳ δάκρυσι, καὶ θείοις σκάμμασι.

Χαίροις ἡ παραμονάριος, τοῦ τάφου τοῦ θεαυγοῦς, ἀσκητοῦ Ἱλαρίωνος, Κωνσταντία πάνσεμνε, θείας χάριτος σκήνωμα· φρουρὸς γὰρ τάφου, αὐτοῦ ὑπάρχουσα, ἐξ ἀσθενείας, τοῦ θεραπεύσαντος, τὴν θυγατέρα σου, καὶ αὐτῆς τὸν σύζυγον μετὰ κλοπήν, τοῦ αὐτοῦ σκηνώματος, ἐκ τούτου ἔθανες.

Μνήμην τὴν σεπτήν σου σήμερον, τῶν Παφηνῶν οἱ χοροί, Κωνσταντία γηθόμενοι, ἐκτελοῦντες κράζομεν, ὁλοθύμως ἱκέτευε, τὸν ζωοδότην, Χριστὸν ἀείποτε, Αὐτοῦ τὸ μέγα, καὶ θεῖον ἔλεος, πέμψαι τοῖς μέλπουσι, σοῦ τὰ κατορθώματα καὶ ἀρετήν, ἣν σαφῶς ἐπέδειξας, τοῖς εὐσεβόφροσι.

Δόξα... Ἦχος πλ. α΄

Τὴν μακαρίαν τῆς Πάφου διακόνισσαν, καὶ προστάτιν καὶ πολιοῦχον, ὡς κληρονόμον τῆς οὐρανίου Βασιλείας, καὶ ἀγγέλων φωτομόρφων συνόμιλον, Κωνσταντίαν πανεύφημον ὑμνήσωμεν κράζοντες· ἡ σεαυτὴν δαπανήσασα τῇ τοῦ ὁσίου Ἱλαρίωνος διακονίᾳ, καὶ σὺν αὐτῷ νῦν εὐφραινομένη ἐν πόλῳ δόξης, ἀξίωσον καὶ ἡμᾶς τοὺς ταπεινοὺς ὑμνηπόλους σου, τῆς δεξιᾶς μερίδος τυχεῖν τοῦ δικαιοκρίτου Κυρίου, ἐν τῇ φοβερᾷ Αὐτοῦ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν... Θεοτοκίον

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῆς Ὁσίας ἡ γ΄ καὶ ἡ ς΄ ᾠδή.

Ὁ Ἀπόστολος

Προκείμενον, Ἦχος δ΄ (Ψαλμ. ξζ΄)

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

**Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**

(Κεφ. ε΄22-ς΄ 2)

(Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ ἑβδομάδος)

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα (γ΄), Ἦχος α΄ (Ψαλμ. λθ΄)

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

## Τὸ Εὐαγγέλιον

**Ἐκ τοῦ κατὰ Ματθαῖον**

(Κεφ. κε΄ 1-13)

(Ζήτει τῷ Σαββάτῳ τῆς ΙΖ΄ ἑβδομάδος Ματθαίου)

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας...

## Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Ἀλληλούϊα.

## Μεγαλυνάριον

Χαίροις Κωνσταντία θεοσεβές, Παφηνῶν προστάτις, Ἱλαρίωνι τῷ σεπτῷ, θυγατρὸς νοσούσης αὐτῆς τῷ ἰατῆρι, ψυχῇ ἡ ὁλοθύμῳ διακονήσασα.

## Τετράστιχον

Χρυσοστόμου νεύσει, Παφηνῶν ποιμένος,
Κωνσταντίαν ἦσε Χαραλάμπης θείαν.

Ἀρχιθύτου πόθον πληρῶν Γεωργίου,
Κωνσταντίαν ἐξύμνησε Χαραλάμπης.

## ΠΗΓΑΙ ΚΑΙ ΒΟΗΘΗΜΑΤΑ

### 1. Πηγαὶ

#### α) Χειρόγραφος παράδοσις

Ἡ περὶ τοῦ Βίου τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος χειρόγραφος παράδοσις εἶναι πλουσιωτάτη. Ἐκρίθη σκόπιμον ὅπως δοθῇ ἐνδεικτικὸς κατάλογος μερικῶν χειρογράφων περιλαμβανόντων τὸν Βίον τοῦ ὁσίου Ἱλαρίωνος, ἐν οἷς ἐμπεριέχονται στοιχεῖα ἐκ τοῦ παραλλήλου πρὸς τὸν ὅσιον Ἱλαρίωνα, Βίου τῆς ὁσίας μητρὸς ἡμῶν Κωνσταντίας.

Ἐξέχουσαν θέσιν εἰς τὸν κατάλογον τῆς περὶ τοῦ ὁσίου Ἱλαρίωνος χειρογράφου παραδόσεως καταλαμβάνει ὁ ἐκ τῆς Ἁγίας Βιβλιοθήκης τῆς Μονῆς Ἐγκλείστρας προερχόμενος χειρόγραφος κῶδιξ τῆς Α΄ Μειζοτέρας Πανηγυρικῆς τοῦ ὁσίου Νεοφύτου τοῦ Ἐγκλείστου. Ὁ ἐν λόγῳ χειρόγραφος κῶδιξ περιέχει στοιχεῖα τοπικῆς ἢ ἄλλης παραδόσεως περὶ τῶν ὁσίων Ἱλαρίωνος καὶ Κωνσταντίας, παρὰ τὸ γεγονὸς ὅτι δὲν ἀποστασιοποιεῖται τῆς παραδόσεως Συμεῶνος τοῦ Μεταφραστοῦ.

1. Χειρόγραφος Κῶδιξ Ἱερᾶς Μονῆς Ἁγίου Σάββα 27, ΙΑ΄ αἰών, περγαμ., φφ. 429, 338Χ240 χιλ. (φφ. 237-283β: Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος).

(Βιβλιογραφία: Α. Παπαδοπούλου-Κεραμέως, Ἱερωνύμου καὶ Σωφρονίου, Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος, Ἀνάλεκτα Ἱεροσολυμιτικῆς Σταχυολογίας, τόμος πέμπτος, Πετρούπολις 1898, σσ. 82-136, 420-422).

2. Χειρόγραφος Κῶδιξ Βιβλιοθήκης Μόσχας 387, ΙΑ΄ αἰών, φφ. 206, 210x150 χιλ. (φφ. 74-122: Βίος ὁσίου Ἱλαρίωνος).

3. Χειρόγραφος Κῶδιξ Ἐθνικῆς Βιβλιοθήκης Παρισίων 1189, (Paris. gr. 1189 olim Colbert. 872, Regius 2033 5),

Νεοφύτου πρεσβυτέρου, μοναχοῦ καὶ ἐγκλείστου, Α΄ Μειζοτέρα Πανηγυρική, ΙΓ΄ αἰών, περγαμ., φφ. 235, 335x240 (φφ. 105β-114: Λόγος ΙΓ΄, Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Εἰς τὸν ὅσιον καὶ θεοφόρον πατέρα ἡμῶν καὶ θαυματουργὸν Ἱλαρίωνα, Ἐγκώμιον διὰ βραχέων καὶ ἐκ τῶν θαυμάτων αὐτοῦ συνοπτικὴ καὶ μερικὴ ἐκλογή. Ἄρχεται: Ἱλαρίωνα τὸν μέγα, τὸ μέγα θαῦμα τῆς οἰκουμένης...).

(Βιβλιογραφία: Delehaye H., "*Saints de Chypre*", *Analecta Bollandiana* 26 (1907), σσ. 161-297. - Ehrhard A., *Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der Griechischen Kirche*, III, Leipzig 1939 σσ. 681-682. - Halkin Fr., Manuscrits Grecs de Paris. Inventaire Hagiographique, *Subsidia Hagiographica* 44, Bruxelles 1968, σσ. 136-137).

**1) Cantabrigiensis (T. Coll.) B.** ΙΒ΄ αἰ., περγαμ. φφ. 281, 370x280 χιλ. (φφ. 133β-157: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **2) Escorial. y. II. 3** ΙΒ΄ αἰ., περγαμ., φφ. 287, 340x230 χιλ. (φφ. 155β-181: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **3) Escorial. y. II. 14** ΙΒ΄ αἰ., περγαμ., φφ. 282, 280x230 χιλ. (φφ. 209-239: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **4) Coisl. 145** ΙΑ΄ αἰ., περγαμ., φφ. 281, 310x240 χιλ. (φφ. 158β-183: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **5) Paris. gr. 1480** ΙΑ΄ αἰ., περγαμ., φφ. 285, 295x225 χιλ. (φφ. 144β-171: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **6) Paris. gr. 1486** ΙΑ΄ αἰ., περγαμ., φφ. 122, 380x275 χιλ. (φφ. 61-78: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **7) Paris. gr. 1494** ΙΒ΄ αἰ., περγαμ., φφ. 162, 370x280 χιλ. (φφ. 87β-103: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **8) Paris. gr. 1495** ΙΑ΄ αἰ., περγαμ., φφ. 276, 350x250 χιλ. (φφ. 153β-178β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **9) Paris. gr. 1501A** ΙΑ΄ αἰ., περγαμ., φφ. 133, 350x240 χιλ. (φφ. 132β-133β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **10) Paris. gr. 1503** ΙΑ΄ αἰ., περγαμ., φφ. 212, 280x220 χιλ. (φφ. 118-139β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **11) Paris. gr. 1512** ΙΒ΄ αἰ., περγαμ., φφ. 276, 305x242 χιλ. (φφ. 150-175β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **12) Paris. gr. 1524** ΙΒ΄ αἰ., περγαμ., φφ. 268, 320x240 χιλ. (φφ. 157-180: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **13) Paris. gr. 1546** ΙΒ΄ αἰ., περγαμ., φφ. 245, 310x250 χιλ. (φφ. 140-161β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **14) Paris. gr. 1295** ΙΕ΄-ΙΣΤ΄ αἰ., χαρτ., φφ. 342, (φφ. 178-231: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **15) Ottobon. 399** ΙΑ΄ αἰ., περγαμ., φφ. 289, 310x240 χιλ. (φφ. 158β-184β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **16) Regin. 56** ΙΑ΄/ΙΒ΄ αἰ., περγαμ., φφ. 216, 302x225 χιλ. (φφ. 124-147β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **17) Vatic. 799** ΙΒ΄ αἰ., περγαμ., φφ. 261, 335x245 χιλ. (φφ. 149β-172: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). **18) Vatic. 801** ΙΒ΄ αἰ., περγαμ., φφ. 202, 300x226 χιλ. (φφ. 119β-136: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **19) Vatic. 802** ΙΒ΄ αἰ., περγαμ., φφ. 299, 295x215 χιλ. (φφ. 109-129β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). **20) Vatic. 2042** ΙΒ΄ αἰ., περγαμ., φφ. 211, 310x335 χιλ. (φφ. 107-124: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **21) Vatic. 2047** ΙΒ΄ αἰ., περγαμ., φφ.

308, 290x210 χιλ. (φφ. 243β-257β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος). | **22) Venetus Marc. gr. 348** ΙΒ΄ αἰ., περγαμ., φφ. 311, 325x250 χιλ. (φφ. 179β-206β: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος).

(Βιβλιογραφία: H. Delehaye, Catalogus codicum hagiographicorum graecorum regii monasterii Scorialensis, *Analecta Bollandiana* 28 (1909) σσ. 367, 382, Catalogus codicum hagiographicorum graecorum bibliothecae D. Marci Venetiarum, *Analecta Bollandiana* 24 fasc. II (1905) σ. 175. Ehrhard A., *Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der Griechischen Kirche*, I, Leipzig 1937 σσ. 405-408, 438, 464-468, II Leipzig 1938, σσ. 306, 334-337, 358, 359, 371-375, 406, 712-713, III Leipzig 1939, σσ. 38, 520, 681-682, 994-995. - Halkin Fr., Manuscrits Grecs de Paris. Inventaire Hagiographique, *Subsidia Hagiographica* 44, Βρυξέλλαι 1968, -: σσ. 38, 136-137, 153, 177-178, 179, 180, 184, 187, 191-192, 192-193, 196, 204, 205, 206, 210-211, 213, 248, 254, William Abbot Oldfather, Studies in the Text Tradition of St. Jerome's *Vitae Patrum*, Urbana 1943. - Fr. Halkin, Bibliotheca Hagiographica Graeca I, Subsidia Hagiographica 8a, 1957, σσ. 181-182, 211, 248-249 III σ. 191 - Fr. Halkin, Auctarium Bibliothecae Hagiographicae Graecae, Subsidia Hagiographica 47, 1967, σ. 83. - Fr. Halkin, Novum Auctarium Bibliothecae Hagiographicae Graecae, Subsidia Hagiographica 65, 1984, σσ. 88-89. J.N.D. Kelly, Jerome, His Life, Writings and Controversies, Duckworth London 1975).

### β) Ἔντυποι ἐκδόσεις

1. Sancti Eusebii Hieronymi, Vita S. Hilarionis, *Migne Patrologiae Latinae* 23, Paris 1845 (reprint by Brepols, Turnhout, Belgium, 1983), σσ. 29-30, 53-54.

2. Μανουὴλ Ἰ. Γεδεών, Πατριαρχικοὶ Πίνακες, Εἰδήσεις ἱστορικαὶ καὶ βιογραφικαὶ περὶ τῶν πατριαρχῶν Κωνσταντινουπόλεως, Ἐν Κωνσταντινουπόλει 1885-1890, σσ. 194-198, 219-227.

3. Ἱερωνύμου καὶ Σωφρονίου, Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος (*Cod. Sabbait.* 27, φφ. 237α-283), Ἐν Ἀ. Παπαδοπούλου-Κεραμέως, Ἀνάλεκτα Ἱεροσολυμιτικῆς Σταχυολογίας τόμ. Ε΄, Πετρούπολις 1898 (ἀναστατικὴ ἔκδοσις Βρυξέλλαι 1963), σσ. 82-83, 132-136, 420-422.

4. Μηναῖον τοῦ Αὐγούστου (ἔκδ. Π. Π. Παρασκευόπουλος), Ἐν Ἀθήναις 1904, σσ. 129-136.

5. H. Delehaye, "Saints de Chypre", *Analecta Bollandiana* 26 (1907), σσ. 221-228, 234, 241-142, 252, 262, 286, 296.

6. Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, ἐγκώμιον κεφαλαιῶδες εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γεννάδιον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως· καὶ περὶ τῆς αὐτοῦ ἐγκυκλίου ἐπιστολῆς· καὶ διατὶ τὸ τίμιον αὐτοῦ λείψανον οὐκ ἀνεκομίσθη πρὸς τὴν βασιλεύουσαν πόλιν, Ἐν Ἰωάννου Χ. Χατζηϊωάννου, Ἱστορία καὶ ἔργα Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Ἐν Ἀλεξανδρείᾳ 1914, σσ. 316-324.

7. Μηναῖον τοῦ Αὐγούστου (ἐπιστασίᾳ Γεωργίου Γεγλέ, ἔκδ. Μιχαὴλ Σαλίβερος), Ἀθῆναι ἄ. ἔ., σσ. 177-187.

8. Σωφρονίου Εὐστρατιάδου πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, Ἀθῆναι 1935 (ἀνατύπωσις 1995), σσ. 71, 89, 134-135, 238, 335, 451.

9. J. Frank Cherf, K. Tubbs Corey, M. Donald McNeil, R. French Strout, J. Leslie Catterall, G. Steiner, H. Clara Jameson, Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος, Studies in the Text Tradition of St. Jerome's Vitae Patrum, Urbana 1943, σσ. 145, 198, 339, 347-394, 398-408.

10. Μηναῖον τοῦ Αὐγούστου (ἔκδ. «Τὸ Φῶς»), Ἐν Ἀθήναις 1961, σσ. 238-251.

11. "Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Εἰς τὸν Ὅσιον καὶ Θεοφόρον πατέρα ἡμῶν καὶ θαυματουργὸν Ἱλαρίωνα, Ἐγκώμιον διὰ βραχέων, καὶ ἐκ τῶν θαυμάτων αὐτοῦ συνοπτικὴ καὶ μερικὴ ἐκλογή, C.P.G. 1189, φφ. 105β-114β", Ἰω. Π. Τσικνοπούλλου, "Οἱ Ἅγιοι τῆς Κύπρου", *Κυπριακαὶ Σπουδαὶ* 30 (1966), σσ. 131-132, 138-147.

12. H. Follieri, Initia Hymnorum Ecclesiae Graecae, vol. V, pars altera, Città del Vaticano 1966, σσ. 52-53, 66, 93, 171, 242, 326.

13. Τάσου Ἀθ. Γριτσοπούλου, "Κατάλογος Πατριαρχῶν Οἰκουμενικοῦ Πατριαρχείου ἕως τῆς Ἁλώσεως", *Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία* 9 (1966), σ. 829.

14. Ἀρχιμ. Θεοδώρου Τζεδάκη, "Τίτος ὁ Ἀπόστολος", *Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία* 11 (1967), σσ. 785-786.

15. Ὡρολόγιον τὸ Μέγα (ἔκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), Ἐν Ἀθήναις 1986, σσ. 434-435.

16. Μηναῖον τοῦ Αὐγούστου (ἔκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), Ἐν Ἀθήναις 1989, σσ. 133-140.

17. Μέγας καὶ ἱερὸς Συνέκδημος Ὀρθοδόξου Χριστιανοῦ (ἔκδ. «Ἀστήρ»), Ἐν Ἀθήναις 1989, σ. 803.

18. Macaire hiéromoine de Simonos Petras, Le Synaxaire. Vies des Saints de l'Église Orthodoxe, tome cinquième, Juillet-Août, Θεσσαλονίκη 1996, σσ. 506-514.

19. "Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Εἰς τὸν Ὅσιον καὶ Θεοφόρον πατέρα ἡμῶν καὶ θαυματουργὸν Ἱλαρίωνα, ἐγκώμιον διὰ βραχέων καὶ ἐκ τῶν θαυμάτων αὐτοῦ συνοπτικὴ καὶ μερικὴ ἐκλογή, Ἐν Ἁγίου Νεοφύτου τοῦ ἐγκλείστου, Συγγράμματα, τόμ. Γ΄, Πανηγυρικὴ Α΄, Ἔκδοση Ἱερᾶς Βασιλικῆς καὶ Σταυροπηγιακῆς Μονῆς Ἁγίου Νεοφύτου, Πάφος 1999, σσ. 34, 36, 285-301, 408-419.

20. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2007, σ. 350.

### γ) Ἡ παροῦσα ἔκδοσις

Ἡ ἔλλειψις ἀκολουθίας τῆς ὁσίας μητρὸς ἡμῶν Κωνσταντίας καθίστα ἀδύνατον τὴν σύναξιν τῶν πιστῶν διὰ νὰ τιμήσουν τὴν μνήμην τῆς εὐγενοῦς Κυρίας, ἥτις ἠξιώθη νὰ διακονήσῃ Ἱλαρίωνι τῷ Μεγάλῳ.

Τοῦτο διεπιστώθη ὑπὸ τοῦ Μητροπολίτου Πάφου κ. Χρυσοστόμου Β΄, νῦν Ἀρχιεπισκόπου Κύπρου κ.κ. Χρυσοστόμου Β΄ καὶ τοῦ Χωρεπισκόπου Ἀρσινόης κ. Γεωργίου, νῦν Μητροπολίτου Πάφου κ. Γεωργίου, οἵτινες ἀνέθε-

σαν φιλαγίῳ μερίμνῃ αὐτῶν, τὴν σύνθεσιν ἀκολουθίας τῆς μεγάλης πολιούχου τῆς Πάφου εἰς τὸν ὑμνογράφον δρα Χαράλαμπον Μπούσιαν.

Εἰς τὸν κ. Μπούσιαν ἐστάλησαν ἀναφοραὶ ἐκκλησιαστικῶν συγγραφέων διὰ τὴν ὁσίαν Κωνσταντίαν καὶ συναξάριον συρραφὲν ἐκ τοῦ βίου τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος καὶ ἐκ τοῦ ἐγκωμίου τοῦ ὁσίου Νεοφύτου τοῦ Ἐγκλείστου εἰς τὸν θαυματουργὸν Ἱλαρίωνα, ὑπὸ τοῦ δρος Γεωργίου Κ. Χριστοδούλου. Ἐπὶ τῇ βάσει αὐτῶν συνετέθη ὑπὸ τοῦ ἀνωτέρω ὑμνογράφου, τὴν 23ην Μαΐου 2006, πλήρης ἀκολουθία τῆς ἁγίας Κωνσταντίας διὰ νὰ ἐνταχθῇ εἰς τὰ «Κύπρια Μηναῖα».

Διὰ τῆς ἐντάξεως εἰς τὸ λειτουργικὸν ἑορτολόγιον τῆς Ἐκκλησίας Κύπρου τῆς ἀκολουθίας τῆς ὁσίας Κωνσταντίας, παρέχεται ἡ δυνατότης ὅπως ἡ μορφὴ τῆς μεγάλης αὐτῆς ἁγίας προβάλληται ὡς ὑπόδειγμα διακονίας. Ἡ ὁσία Κωνσταντία ἠναλώθη εἰς τὸ ἔργον τῆς διακονίας τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ Μεγάλου, θεμελιωτοῦ τοῦ μοναχισμοῦ τῆς κατὰ νῆσον Κύπρον Ἐκκλησίας, ἐπιτελέσασα μοναδικὴν ἀποστολὴν πρὸς δόξαν Κυρίου.

### δ) Βίοι - Συναξάρια


1. Βίος τοῦ ἁγίου Ἐπιφανίου ἐπισκόπου πόλεως Κωνσταντίας τῆς Κύπρου, *Migne Patrologiae Graecae* 41 (1858), σσ. 23-24, 61-62, 65-66.

2. G. Dindorfius, Epiphanii Episcopi Constantiae opera, vol. I, Lipsiae 1859, Ἀνώνυμος Βίος τοῦ ἁγίου Ἐπιφανίου, σσ. 37-41.

3. Νικοδήμου Ἁγιορείτου, Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ, τόμ. Α΄, Ἀθήνησι 1868, σ. 151.

4. Victore de Buck, De S. Hilarione, Conf. Patre Monachorum in Palestina, *Acta Sanctorum,* Octobris, tom. nonus, Parisiis et Romae 1869, σσ. 16, 56-59.

5. Κ. Χρ. Δουκάκη, Μέγας Συναξαριστής, Ὀκτώβριος, Ἐν Ἀθήναις 1895, σσ. 347-365.

6. Ἰωάννου Φωκυλίδου, "Ὁ Ἅγιος Ἱλαρίων" *Νέα Σιὼν* 15 (1920), σσ. 69-70, 252-256.

7. Σωφρονίου Εὐστρατιάδου πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, Ἀθῆναι 1935, (ἀνατύπωσις 1995), σσ. 214-215, 266.

8. J. Frank Cherf, K. Tubbs Corey, M. Donald McNeil, R. French Strout, J. Leslie Catterall, G. Steiner, H. Clara Jameson, Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος, Studies in the Text Tradition of St. Jerome's *Vitae Patrum,* Urbana 1943, σσ. 145, 198, 339, 347-394, 398-408.

9. Ἰωάννου μοναχοῦ Ἁγιορείτου, Βίοι τῶν ἐν Κύπρῳ Ἁγίων, μετὰ χαιρετισμῶν, Κύπρος 1952, σ. 11.

10. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ΄, Κύπρος ἡ ἁγία νῆσος, ἔκδ. α΄ Ἀθῆναι 1968, σ. 31, ἔκδ. β΄ Λευκωσία 1997, σσ. 36-37.

11. Ἀκολουθία τῶν ἐν Κύπρῳ Ἁγίων, ἔκδ. α΄ 1972, σ. 20, ἔκδ. β΄, Κύπρος 1988, σσ. 42, 64, 130, ἔκδ. γ΄, Κύπρος 2003, σ. 75.

12. Macaire hiéromoine de Simonos - Petras, Le Synaxaire, Vies des Saints de l' Église Orthodoxe, tome première, Septembre, Octobre, Novembre, Θεσσαλονίκη 1987, σσ. 330-334.

13. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἅγιασαν τὴν Κύπρο, δ΄ ἔκδ. Λευκωσία 1988, σσ. 119-127, ε΄ ἔκδ. Λευκωσία 1998, σσ. 115-121, 534.


## 2. Βοηθήματα

### α) Μελέται


1. Estienne de Lusignan, Description de toute l'isle de Chypre, et des Roys, Princes, et Seigneurs..., Παρίσι, 1580, σσ. 40, 56β, 59β.

2. Νεοφύτου Ῥοδινοῦ, Περὶ ἡρώων, στρατηγῶν, φιλοσόφων, ἁγίων καὶ ἄλλων ὀνομαστῶν ἀνθρώπων, ὅπου ἐβγήκασιν ἀπὸ τὸ νησὶ τῆς Κύπρου, Ἐν Ῥώμῃ παρὰ τῷ Μασκάρδῳ ἔτει τῆς Χριστοῦ γεννήσεως ͵αχνθ΄ (1659), ἐν Γ. Βαλέτα, Νεόφυτος Ροδινός, Ἀθήνα 1979, σσ. 189, 195, 198, ἐν Θ. Παπαδοπούλλου, Νεόφυτος Ροδινός, Λευκωσία 2007, σσ. 104-105, 128-129, 136.

3. Ἀρχιμανδρίτου Κυπριανοῦ, Ἱστορία χρονολογικὴ τῆς νήσου Κύπρου, Ἐνετίησιν 1788, σσ. 50, 351, 353.

4. J. Hackett, *A History of the Orthodox Church of Cyprus,* Λονδῖνον 1901, σσ. 409-411.

5. Giovanni Mariti (1769), *Travels in the island of Cyprus,* translated from the Italian by Cl. D. Coblham, Λονδῖνον 1909, ἐπανέκδ. Λονδῖνον 1971, σ. 91.

6. Ἰω. Χάκκετт, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καὶ συμπλήρωσιν Χαρ. Ἰ. Παπαϊωάννου, τόμ. Β΄, Ἐν Πειραιεῖ 1927, σσ. 196, 203, 217-220, 252-257.

7. R. Gunnis, *Historic Cyprus,* α΄ ἔκδ. Λονδῖνον 1936, β΄ ἔκδ. Λονδῖνον 1947, σσ. 414-418.

8. Κοραλλίας Σ. Λοΐζίδου, ""Φρούριον τοῦ Ἁγίου Ἱλαρίωνος ἢ τοῦ Θεοῦ τοῦ Ἔρωτος", *Κυπριακαὶ Σπουδαὶ* 2 (1938), σσ. 45-54.

9. Λοΐζου Φιλίππου, "Ἡ ἐν Κύπρῳ διαμονὴ καὶ ὁ θάνατος Ἱλαρίωνος τοῦ Μεγάλου", *Κυπριακαὶ Σπουδαὶ* 4 (1940), σσ. 33-38.

10. Γ. Παπαχαραλάμπους, "Ἀπὸ τὴν Βυζαντινὴν Κύπρον", *Κυπριακαὶ Σπουδαὶ* 25 (1961), σσ. 125-130.

11. Κυριάκου Χατζηιωάννου, Ἡ ἀρχαία Κύπρος εἰς τὰς ἑλληνικὰς πηγάς, τόμ. Α΄, Λευκωσία 1971, σσ. 398-405.

12. J. N. D. Kelly, *Jerome, His life, Writings and Controversies,* Λονδῖνον 1975, σσ. 172-174.


### β) Ναογραφία


1. Claude Delaval Cobham, *The Churches and Saints of Cyprus,* Λονδῖνον 1910, σσ. 5, 6, 11, 35, 41.

2. Ν. Γ. Κυριαζῆ, Τὰ χωρία τῆς Κύπρου, Λάρναξ 1952, σσ. 81, 105, 147, 170.

3. Νεάρχου Κληρίδη, Χωριὰ καὶ πολιτεῖες τῆς Κύπρου, Λευκοσία 1961, σσ. 85, 92, 116-117, 121-122, 193.

4. Marina Sacopoulo, Chypre d'aujourd'hui, Préface de A. Grabar, Παρίσι 1966, σ.255.

5. Γεωργίου Χατζηκωστῆ, Ὧρες τῆς Πάφου, Λευκωσία 1969, σσ. 19-23, 34-36, 39-50.

6. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 45-47, 139-141, 169-174, 191, 206, 220, 264, 265.

7. Κ. Ἀ. Πιλαβάκη, "Συναγωγὴ Κυπριακοῦ τοπωνυμικοῦ ὑλικοῦ", *Κυπριακαὶ Σπουδαὶ* 38-39 (1974-1975), Παράρτημα, σσ. 82, 89, *Κυπριακαὶ Σπουδαὶ* 40 (1976), Παράρτημα, σσ. 110, 151.

8. M. Christodoulou, *A Concise Gazetteer of Cyprus,* Λευκωσία 1982, σσ. 23, 24, 26, 42, 49.

9. Κυριάκου Χατζηιωάννου, Ἡ ἀρχαία Κύπρος εἰς τὰς ἑλληνικὰς πηγάς, τόμ. Ε', Λευκωσία 1983, σ. 163.

10. Ἀ. Παυλίδη, "Ἐπισκοπὴ Πάφου", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 5 (1986), σσ. 141-144.

11. M. Christodoulou, *A Complete Gazetteer of Cyprus* I, Λευκωσία 1987, σσ. 361, 887, 962-966, 1423-1424, 1439, 1440, 1584-1585.

12. Ἀ. Παυλίδη, "Καλλέπεια", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 6 (1987), σσ. 206-207.

13. Ἀ. Παυλίδη, "Προϊστορία καὶ Ἱστορία τῆς Ἐπαρχίας Πάφου, Ἡ Πάφος κατὰ τὰ Βυζαντινὰ χρόνια", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 11 (1989), σσ. 157-167, 188-189.

14. Δ. Χρήστου, "Νέα Πάφος", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 11 (1989), σσ. 202-218.

15. Gilles Grivaud, Villages désertés à Chypre (fin XIIe-fin XIXe siècle), Ἵδρυμα Ἀρχιεπισκόπου Μακαρίου Γ', Γραφεῖον Κυπριακῆς Ἱστορίας, *Μελέται καὶ Ὑπομνήματα* III, Λευκωσία 1998, σσ. 48, 240, 243, 244, 246, 446, 447.

16. Βλασίου μοναχοῦ Σταυροβουνιώτου, Πατερικὸν τῆς νήσου Κύπρου (Ἅγιοι Ἀσκητὲς καὶ Σπήλαια τῆς Κύπρου), ἔκδ. α', Λάρνακα 1997, σσ. 76-80, ἔκδ. γ', Θεσσαλονίκη 1999, σσ. 87-92.